**0345-0407 - Iohannes Chrysostomus - De turture seu de ecclesia sermo**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 202 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De turture seu de ecclesia sermo

[00001] ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΤΡΥΓΟΝΑ Ἤτοι εἰς τὴν Ἐκκλησίαν.

55.599

[00002] α′.

[00003] Ἡ τρυγὼν ἡ φιλέρημος, ὅτε ἐν ὕλαις συγκοιταζομένη καλεῖ τὸν ὁμόζυγον, γοεραῖς κολακείαις τὰς κοιλάδας δονήσασα, καὶ τὸν ἑαυτῆς ἄῤῥενα παρ' ὕδασι νεμόμενον θέλξασα, καὶ τοῦτον πετάσασα παραινεῖ ταχεῖαν τὴν πτῆσιν ποιήσασθαι·

[00004] ὁμοφώνῳ δὲ γνώμῃ ἐπὶ τῶν στερεμνίων πρέμνων τὴν καλιὰν αὐτῶν πήξασαι καὶ ἀφόβως ἐπωάζουσι, καὶ τοὺς νεοττοὺς ἑαυτῶν ἐκεῖθεν πετάζουσι.

[00005] Φασί τινες τὴν τρυγόνα φίλανδρον εἶναι καὶ φίλαγνον·

[00006] ὥστε κἂν συμβῇ τὸν ταύτης ἄῤῥενα ὑπὸ ἀετοῦ ἀναλωθῆναι, ἢ ὑπὸ ἰξευτοῦ θηρευθῆναι, ταύτην ἑτέρῳ ἀνδρὶ μὴ ἐπιμίγνυσθαι, ἀλλ' αὐτὸν ποθεῖν, αὐτὸν ἀναμένειν, καὶ τῇ τούτου μνήμῃ συναποθνήσκειν.

[00007] Ἀκούσατε, γυναῖκες, οἵα σωφροσύνη ἐν ὀρνέοις εὑρίσκεται.

[00008] Ὅσοι τοίνυν τὴν μορφὴν τῆς τρυγόνος ἐν ὄψει φέρετε, τὴν ταύτης σωφροσύνην μιμήσασθε.

[00009] Τοιαύτη ἐστὶν ἡ πάνσεμνος Ἐκκλησία.

[00010] Τοῦ γὰρ ἀνδρὸς αὐτῆς Χριστοῦ σταυρωθέντος καὶ εἰς οὐρανοὺς ἀνελθόντος, ἑτέρῳ ἀνδρὶ οὐκ ἐπιμίγνυται·

[00011] ἀλλ' αὐτὸν ποθεῖ, αὐτὸν ἀναμένει, καὶ τῇ τούτου μνήμῃ συναποθνήσκει.

[00012] Ἀλλ' ἵνα μὴ δόξωμεν, ἀγαπητοὶ, ἔξωθεν εἶναι τῶν Γραφῶν μνημονεύσαντες τρυγόνος, φέρε αὐτῶν τῶν Γραφῶν μνημονεύσωμεν.

[00013] Μαρτυρεῖ ὁ Δαυῒδ ὁ μακάριος, καὶ κελαδεῖ λέγων·

[00014] Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νόσσια ἑαυτῆς.

[00015] Καὶ ποῖον λέγει στρουθίον;

[00016] Ἢ πάντως τὸν ἄνθρωπον·

[00017] Ἡ γὰρ ψυχὴ ἡμῶν, ὡς στρουθίον, ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.

[00018] Ὁ δέ γε Κύριος βουλόμενος δεῖξαι τοῖς ἑαυτοῦ μαθηταῖς, πόσον ἄλλων ἐν ἁγιωσύνῃ διαφέρουσι, λέγει πρὸς αὐτούς·

[00019] Μὴ φοβεῖσθε·

[00020] πολλῶν στρουθίων διαφέρετε ὑμεῖς.

[00021] Διὰ τοῦτο καὶ ὁ Σολομὼν ἐβόα λέγων·

[00022] Ἵνα σώζῃ, ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος.

[00023] Καὶ πάλιν ἡ θεία φωνή·

[00024] Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπιος, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἰδίῳ ἀγρῷ·

[00025] ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμάτων·

[00026] ὅταν δὲ αὐξηθῇ, γίνεται μεῖζον πάντων τῶν λαχάνων, ὥστε ἐλθεῖν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ.

[00027] Καὶ γὰρ ἐνταῦθα τὰ πολυαρίθμητα γένη τῶν ἀνθρώπων ὀρνέοις παρείκασε.

[00028] Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νόσσια ἑαυτῆς.

[00029] Τρυγόνι παρείκασε τὴν πάνσεμνον Ἐκκλησίαν διὰ τὰ ποικίλα τῆς σοφίας χαρίσματα.

[00030] Ὅτι δὲ πεποίκιλται ἡ Ἐκκλησία, ἔστι τοῦ Δαυῒδ ἀκοῦσαι λέγοντος·

[00031] Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

[00032] Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νόσσια ἑαυτῆς·

[00033] τουτέστιν, ὑπὸ τοὺς στερεμνίους κλάδους τοῦ σταυροῦ ἐκτρέφουσα τὰ νεοφώτιστα τέκνα.

[00034] Ταύτης δὲ τῆς τρυγόνος μέμνηται καὶ Ἱερεμίας λέγων·

[00035] Τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία καὶ τέττιγες ἔγνωσαν καιρὸν εἰσόδου αὐτῶν, τρυγόνα λέγων τὴν πάνσεμνον Ἐκκλησίαν, χελιδόνα τὸν φιλάνθρωπον Ἰωάννην, τέττιγα τὸν εὔλαλον Παῦλον, τὸν τῆς Ἐκκλησίας αὐλόν.

[00036] Περὶ ταύτης τῆς τρυγόνος ἐντέλλεται ὁ Κύριος τῷ Ἀβραάμ·

[00037] Λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ αἶγα τριετίζουσαν, καὶ περιστερὰν, καὶ τρυγόνα.

[00038] Ταύτης τῆς τρυγόνος μέμνηται καὶ ἐν τοῖς Ἄσμασι τῶν ᾀσμάτων ἡ Γραφὴ λέγουσα·

[00039] Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν.

[00040] Ἡ φωνὴ τῆς τρυγόνος ταύτης, τὸ οὐράνιον ἔαρ τὸν Χριστὸν οὐρανόθεν παραγίνεσθαι, ἡμῖν σημαίνει.

[00041] Ἡ φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν σήμερον.

[00042] Ἀλλ' ἀκούσωμεν τὴν φωνὴν τῆς τρυγόνος ταύτης, ποῖα μέλη κελαδεῖ.

[00043] Μέλαινά εἰμι καὶ καλὴ, θυγατέρες Ἱερουσαλήμ.

[00044] Μὴ ἐμβλέψητέ με, ὅτι ἐγὼ μεμελανωμένη εἰμὶ, ὅτι παρέβλεψέ με ὁ ἥλιος.

[00045] Μέλαινά εἰμι καὶ καλή·

[00046] μέλαινα, διὰ τὴν προτέραν παράβασιν, καλὴ, διὰ τὴν ταχεῖαν μετάνοιαν·

[00047] μέλαινα, διὰ τὸ ἐν τῷ πταίσματι πένθος, καλὴ, διὰ τὸ ἐν τῷ βαπτίσματι φέγγος.

[00048] Μέλαινά [55.600] εἰμι καὶ καλὴ, θυγατέρες Ἱερουσαλήμ.

[00049] Θυγατέρας λέγει τῆς Ἱερουσαλὴμ τὰς ἁγίας τῶν πατέρων ψυχάς.

[00050] Μέλαινά εἰμι καὶ καλὴ, ἡ ἐξ ἐθνῶν Ἐκκλησία.

[00051] Μὴ βλέψητε ὑμεῖς, αἱ ἅγιαι ψυχαὶ, μὴ ἐμβλέψητε εἰς ἐμὲ, ὅτι ἐγώ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ ἥλιος τῆς δικαιοσύνης, διὰ τὴν προτέραν μου πλάνην.

[00052] Ποῖος ἥλιος παρέβλεψεν αὐτήν;

[00053] Οὐ πάντως περὶ οὗ λέγει ἐν τῷ Ἐκκλησιαστῇ, Ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει.

[00054] Ἀνατέλλει γὰρ ἡμῖν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ἐκ Μαρίας, τὸ κατὰ σάρκα·

[00055] ἀνατολὴ ὄνομα αὐτῷ·

[00056] ἔδυνε πάλιν, ὅτε ἐπὶ τοῦ σταυροῦ καὶ εἰς τὰ καταχθόνια κατῆλθεν.

[00057] Ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει.

[00058] Ὅτε εἰς οὐρανοὺς ἀνῆλθε, τότε ἡμᾶς εἵλκεν.

[00059] Ὅταν γὰρ ὑψωθῶ, τότε πάντας ἑλκύσω πρὸς ἐμαυτόν.

[00060] Περὶ τούτου τοῦ ἡλίου τῆς δικαιοσύνης καὶ Ἡσαΐας φθέγγεται λέγων·

[00061] Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνατελεῖ ὁ ἥλιος τῆς δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.

[00062] Ἐλθόντος γὰρ τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ἡ αἱμοῤῥοοῦσα ἁψαμένη τοῦ πτερυγίου τοῦ ἱματίου αὐτοῦ, τὰς πηγὰς τῶν αἱμάτων ἐξήρανε.

[00063] Μέλαινά εἰμι καὶ καλὴ, θυγατέρες Ἱερουσαλήμ.

[00064] Εἴ τίς ἐστιν ἐνθάδε ἑστηκυῖα ψυχὴ ἁμαρτίᾳ μεμελανωμένη, μὴ φοβείσθω·

[00065] μόνον μετανοείτω, καὶ λεγέτω·

[00066] Μέλαινά εἰμι καὶ καλή.

[00067] Εἰ καὶ πρὸς ἐσχάτην ἀναπνοὴν τυγχάνει εἰ καὶ πρὸς ἑσπέραν ὥρα ἐστὶ, μὴ φοβείσθω·

[00068] μετανοείτω μετὰ κλαυθμοῦ.

[00069] Τὸ γὰρ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις.

[00070] Μίμησαι Ἐζεκίαν τὸν βασιλέα, ὃς ἀῤῥωστίᾳ ὑποπεσὼν κατέκειτο ἐπὶ κλίνης·

[00071] ἀκούσας δὲ Ἡσαΐου λέγοντος πρὸς αὐτόν·

[00072] Τάξαι περὶ τοῦ οἴκου σου·

[00073] μέλλεις γὰρ σὺ τελευτᾷν, καὶ οὐ ζήσῃ·

[00074] στραφεὶς πρὸς τὸν τοῖχον, δάκρυσι μετανοίας τὴν κλίνην ἐδρόσιζε, τὸν ἥλιον ἐνεπόδιζε, καὶ πεντεκαιδεκαετῆ ζωῆς χρόνον παραχρῆμα ἐλάμβανεν.

[00075] β΄.

[00076] Εἴ τίς ἐστιν ἐνταῦθα κατηχούμενος, μετανοείτω, προσερχέσθω τῷ Θεῷ, τῷ ὕδατι βαπτιζέσθω, τῷ βλέμματι φωτιζέσθω.

[00077] Εἴ τίς ἐστιν ἐνθάδε πιστὸς ἁμαρτήσας, τῷ ὕδατι τῶν δακρύων τὸ σῶμα λουέτω, καὶ τῷ ἐλαίῳ τῆς εὐποιίας τὴν ψυχὴν λαμπρυνέτω.

[00078] Ἐὰν οὕτω σεαυτὸν καλλωπίσῃς, ἐὰν τοῖς κατορθώμασιν αὐτὴν ὡραΐσῃς, ἐρᾷ σου ὁ θεῖος λόγος, ἅπτεταί σου τῆς διανοίας, πρὸς πόθον Θεοῦ ἐξέλκει·

[00079] λέγεις καὶ σὺ, Οἴ μοι, τετρωμένη ἀγάπης ἐγώ·

[00080] καθάπερ γὰρ βέλει τῇ ἀγάπῃ τιτρώσκονται αἱ τῶν ἁγίων ψυχαί.

[00081] Θέλεις ἀκοῦσαι αὐτοῦ τοῦ βέλους λαλοῦντος;

[00082] Ἀνάγνωθι τὸν Ἡσαΐαν, καὶ ἐν αὐτῷ εὑρήσεις πῶς λαλεῖ τὸ βέλος·

[00083] Καὶ ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, ὁ Θεὸς Λόγος λέγει, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με.

[00084] Τούτῳ τῷ βέλει τρωθεὶς Ἱερεμίας ἔλεγε πρὸς αὐτόν·

[00085] Ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα.

[00086] Τούτῳ τῷ βέλει τὴν διάνοιαν τρωθεὶς Δαυῒδ ἔλεγε πρὸς αὐτόν·

[00087] Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

[00088] Τούτῳ τῷ βέλει τρωθεὶς ὁ Πέτρος ἔλεγε τῷ Χριστῷ·

[00089] Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε.

[00090] Τούτῳ τῷ βέλει τρωθεὶς ὁ Παῦλος καὶ συνδεθεὶς Χριστῷ, ἔλεγε·

[00091] Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;

[00092] Τούτῳ τῷ βέλει τρωθεῖσα ἡ πάνσεμνος Ἐκκλησία ἔλεγεν·

[00093] Οἴμοι, τετρωμένη ἀγάπης ἐγώ.

[00094] Ὢ στεναγμὸς ἐκ μέσου τῆς καρδίας βλυστάνων φιλόχριστα νάματα·

[00095] ὢ στεναγμὸς, τὸν οὐράνιον νυμφίον Χριστὸν πρὸς ἑαυτὴν ἐπισπωμένη.

[00096] Διὰ τοῦτο αὐτὴ λέγει·

[00097] Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

[00098] Μεμνήστευμαι τῷ οὐρανίῳ νυμφίῳ διὰ νόμου καὶ τῶν προφητῶν.

[00099] Ἐγὼ ἡ Ἐκκλησία ἡ ἐξ ἐθνῶν μεμνηστευμένη οὐκ ἔτι βούλομαι διὰ Μωϋσέως, ἢ διὰ Ἡσαΐου, ἢ διὰ Ἱερεμίου καὶ τῶν λοιπῶν προφητῶν, ἀλλ' αὐτὸς ἐλθέτω·

[00100] βούλομαι στόμα πρὸς στόμα λαλῆσαι αὐτῷ·

[00101] αὐτὸς ἡκέτω, Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

[00102] Ἀκούω Ἱερεμίου λέγοντος περὶ αὐτοῦ·

[00103] [55.601] Βαθεῖα ἡ καρδία αὐτοῦ παρὰ πάντας, καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν;

[00104] Αὐτὸν ποθῶ, αὐτὸν ἱκετεύω.

[00105] Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

[00106] Ἀκούω τοῦ Ἀμῶς λέγοντος·

[00107] Ἰδοὺ ἄνθρωποςἑστὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας.

[00108] Αὐτὸν ζητῶ, ἡκέτω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

[00109] Καὶ ὥσπερ γυνὴ φίλανδρος, ἀπόντος τοῦ ἀνδρὸς, παρακύπτουσα διὰ θυρίδων αὐτὸν περιβλέπεται, αὐτὸν περισκοπεῖ, καὶ κατὰ τὴν γῆν, καὶ κατὰ τὴν θάλασσαν·

[00110] κἂν ἴδῃ πλοῖον ἐρχόμενον, ἐκεῖ τὸν ἑαυτῆς ἄνδρα φαντάζεται·

[00111] κἂν ἴδῃ ὁδοιπόρους ἐρχομένους πόῤῥωθεν, ἐκεῖ τὸν ἑαυτῆς ἄνδρα λογίζεται εἶναι·

[00112] πολλάκις γὰρ αὐτοῖς συναντήσασα ἐπερωτᾷ περὶ τοῦ ἰδίου ἀνδρός·

[00113] Εἴπατέ μοι, ποῦ αὐτὸν ἐάσατε, ἐν ποίᾳ πόλει ἢ κώμῃ, τί λέγοντα, ἢ τί ποιοῦντα, ἢ πότε ἐρχόμενον;

[00114] γʹ.

[00115] Τὸν αὐτὸν τρόπον καὶ ἡ πάνσεμνος Ἐκκλησία φιλήματι ἁγίῳ καὶ ἀγάπῃ συνεχομένη, πάντας τοὺς προφήτας ἐπερωτᾷ λέγουσα·

[00116] Ἴδετε αὐτόν;

[00117] ἆρα ἔρχεται;

[00118] ἆρα οὐκ ἔρχεται;

[00119] ἆρα ἐν οὐρανῷ ἐστιν;

[00120] ἆρα τὰ ἀπλάνητα πρόβατα τὰ ἐνενηκονταεννέα ἐν οὐρανῷ νέμει, καὶ οὐκ ἔρχεται πρὸς τὸ πεπλανημένον πρόβατον;

[00121] Εἴπατέ μοι, ποῦ ποιμαίνει, ποῦ κοιτάζει, ὃν ἠγάπησεν ἡ ψυχή μου;

[00122] Ἐπερωτώμενοι δὲ οἱ προφῆται, δι' ἑνὸς φθέγγονται Ἡσαΐου, καὶ λέγουσι·

[00123] Εἴδομεν αὐτόν·

[00124] ἀλλ' εἰ ἐκεῖνον ἐκδέχῃ, εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν οὔτε τὸ εἶδος αὐτοῦ, οὔτε τὸ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

[00125] Ἀποκρίνεται ἡ πάνσεμνος νύμφη Ἐκκλησία·

[00126] ἐκεῖνός ἐστιν, αὐτὸν ποθῶ, αὐτὸν ζητῶ, ἱκετεύω, Φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ.

[00127] Ἀποκρίνεται πρὸς αὐτὴν Ἡσαΐας·

[00128] Εἰ αὐτός ἐστιν, ἔρχεται, καὶ μετὰ ἰσχύος πολλῆς ἔρχεται.

[00129] Κύριος, Κύριος ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρίας.

[00130] Ἰδοὺ ὁ μισθὸς αὐτοῦ, καὶ τὸ Ἔργον αὐτοῦ ἐναντίον αὐτοῦ·

[00131] καὶ ἐν τῇ χειρὶ αὐτοῦ συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει.

[00132] Ἀκούει αὐτὴ, ὅτι ἀκριβῶς τὰ περὶ αὐτοῦ διηγεῖται Ἡσαΐας καὶ λέγει αὐτὸν ποιμένα·

[00133] Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει·

[00134] καὶ λέγει αὐτῷ·

[00135] Ποῦ ποιμαίνει, ποῦ κοιτάζει, ὃν ἠγάπησεν ἡ ψυχή μου;

[00136] Πέμπει αὐτὴν Ἡσαΐας πρὸς Ἰωάννην, καὶ λέγει αὐτῇ Ἰωάννης·

[00137] Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·

[00138] Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

[00139] Ἀπέρχεται εἰς τὴν ἔρημον πρὸς Ἰωάννην, κρατεῖ αὐτὸν, ἐπερωτᾷ·

[00140] Εἰπέ μοι, εἰ σὺ εἶ ὁ Χριστός;

[00141] Ἀποκρίνεται Ἰωάννης·

[00142] Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

[00143] Καὶ λέγει πάλιν αὐτὴ πρὸς αὐτόν·

[00144] Εἰ οὐκ εἶ ὁ Χριστὸς, διὰ τί βαπτίζεις;

[00145] Ἀπεκρίνατο πάλιν ἐκεῖνος·

[00146] Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός·

[00147] Ὀπίσω μου ἔρχεται, ἰσχυρότερός μού ἐστιν·

[00148] οὗ οὐκ εἰμὶ ἄξιος τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ λῦσαι.

[00149] Ἔτι βραδύναντος αὐτοῦ, ἔλεγεν αὐτή·

[00150] Οἴμοι, τετρωμένη ἀγάπης ἐγώ.

[00151] Πάλιν πρὸς αὐτὴν Ἰωάννης·

[00152] Μὴ στέναζε, παῦσαι, μόνον ἐπίσχες ὀλίγον.

[00153] Θεωρεῖ Ἰωάννης προσερχόμενον τὸν Κύριον, καὶ λέγει αὐτῇ·

[00154] Παῦσαι, μηκέτι στέναζε.

[00155] Πόῤῥωθεν ὑποδεικνύει, τὸν δάκτυλον ἐκτείνας, καὶ λέγει·

[00156] Ἴδε, ὃν ζητεῖς·

[00157] Ἴδε, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

[00158] Ἀκούσασα αὕτη ἀμνὸν παρὰ Ἰωάννου, καὶ ποιμένα παρὰ Ἡσαΐου, ἀμφιβάλλει λέγουσα ἐν ἑαυτῇ·

[00159] Τίνι ἄρα πιστεύσω;

[00160] ἄρα τούτῳ πιστεύσω, ἢ Ἡσαΐᾳ;

[00161] Θεωρεῖ ὁ Δεσπότης, ὅτι ἀμφέβαλλε·

[00162] κράζει καὶ λέγει·

[00163] Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός·

[00164] λύει αὐτῆς τὴν ἀμφιβολίαν ἐκ τοῦ ῥήματος.

[00165] Προσέρχεται ἐκείνη τῷ νυμφίῳ, περιπτύσσεται αὐτὸν, καὶ φιλεῖ αὐτόν.

[00166] Καὶ πληροῦται τὸ ἐν τῷ Δαυῒδ γεγραμμένον·

[00167] Ἔλεος καὶ ἀλή [55.602] θεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

[00168] Ἵνα δὲ ἐντελέστερον μάθωμεν, ὅτι νύμφη τῷ νυμφίῳ συνήφθη, καὶ γάμος ἐγένετο πνευματικὸς, καὶ αὐλὸς ἐκθαλάμιος·

[00169] ᾄδει αὐτὸν ὁ Ἰωάννης, καὶ λέγει·

[00170] Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν·

[00171] ὁ δὲ φίλος τοῦ νυμφίου, ἑστὼς καὶ ἀκούων τὴν φωνὴν αὐτοῦ, χαρὰν χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου.

[00172] Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

[00173] Χρεία ἦν ὡς ἐν γάμῳ καὶ δῶρα γράφεσθαι τῇ νύμφῃ·

[00174] ἔδει χάρτην ζητηθῆναι, καὶ γραφέα, καὶ κάλαμον.

[00175] Ὁ χάρτης παρὰ Ἡσαΐου εὑρίσκεται.

[00176] Ἐπιτάσσει τῷ γραφεῖ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ λέγει·

[00177] Λάβε μοι τόμον καινὸν, μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου.

[00178] Ἐζητεῖτο ὁ κάλαμος, εὑρέθη παρὰ τῷ Δαυΐδ.

[00179] Λέγει γὰρ περὶ αὐτοῦ·

[00180] Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.

[00181] Ταύτην τὴν Ἐκκλησίαν ὁ Δαυΐδ νυμφοστολεῖ·

[00182] αὐτὸς αὐτὴν καλλωπίζει, αὐτὸς αὐτὴν νουθετεῖ, καὶ διδάσκει ὡς νυμφοστόλος, ἢ, ὡς ἔθος ἐστὶ λέγειν τοῖς ἀνθρώποις, παράνυμφος.

[00183] Παραγγέλλει τῇ νύμφῃ·

[00184] Βλέπε, τέκνον·

[00185] Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου·

[00186] καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου.

[00187] Μὴ νομίσῃς ὅτι ἴση αὐτοῦ εἶ.

[00188] Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου·

[00189] καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου·

[00190] ὅτι αὐτός ἐστιν ὁ Κύριός σου·

[00191] καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις.

[00192] Ἐάν μου ἀκούσῃς, θύγατερ, Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς.

[00193] Ἔδει λοιπὸν γραφῆναι, καὶ τὰ παρ' ἑκάστου αὐτῶν διδόμενα, δούλους καὶ παιδίσκας·

[00194] παρὰ μὲν τοῦ Χριστοῦ, δούλους·

[00195] παρὰ δὲ τῆς νύμφης, παιδίσκας·

[00196] τοὺς δούλους δίδωσιν ὁ Χριστός·

[00197] ἔρχονται Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ·

[00198] ἀπαιτοῦσι καὶ τὰς παρὰ τῆς νύμφης παιδίσκας.

[00199] Ὁ Δαυΐδ ὑπαγορεύει·

[00200] Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.

[00201] Γίνεται ὁ γάμος·

[00202] ἔρχεται ὁ Κύριος μυστικῶς ἐν Κανᾷ τῆς Γαλιλαίας.

[00203] Κανᾶ δὲ ἑρμηνεύεται κτίσις Θεοῦ·

[00204] κτίσις δὲ τοῦ Θεοῦ ὁ πᾶς κόσμος.

[00205] Ὧδε τοὺς γάμους τελεῖ τοὺς πνευματικοὺς, ἔρχεται ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ παραγίνεται ἐκεῖ πᾶς ὁ τῶν ἁγίων χορός·

[00206] προσφέρουσι τῷ νυμφίῳ τὰ δῶρα, ἕκαστος κατὰ τὴν οἰκείαν δύναμιν, ὡς ἐν γάμῳ, Ἀβραὰμ τὸν μόσχον, ἡ τούτου γυνὴ Σάῤῥα τοὺς ἐγκρυφίας, Ἰσαὰκ τὰ ξύλα, Ἰακὼβ τοὺς ἐρίφους, Ἰωσὴφ σιτοδοτεῖ, Μωϋσῆς λαμπαδουχεῖ, Ἡσαΐας ᾄδει, καὶ Δαυῒδ χορεύει.

[00207] Καὶ ἐπειδὴ ἔδει καὶ γυναῖκας ἁγίας παρεῖναι εἰς τὸν τοιοῦτον γάμον, κἀκείνας ᾄδειν, ἔρχεται Ἐσθὴρ, Ἰουδὴθ στολίζεται, καλλωπίζεται·

[00208] καὶ Μαρία ἡ τοῦ Μωϋσέως ἀδελφὴ λαμβάνει τὸ τύμπανον, καὶ λέγει·

[00209] Ἄσωμεν τῷ Κυρίῳ·

[00210] ἐνδόξως γὰρ δεδόξασται.

[00211] Καὶ ἐπειδὴ ἔδει ὡς ἐν γάμῳ τοιούτῳ καὶ ἐγγράφεσθαι ἐπαίνους, Παῦλος ἐπαινῶν τὸν γάμον λέγει·

[00212] Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος.

[00213] Ὅτι δὲ περὶ Χριστοῦ λέγει καὶ τῆς Ἐκκλησίας, αὐτὸς ἑαυτὸν ἑρμηνευσάτω·

[00214] Τί γὰρ, φησὶ, γέγραπται;

[00215] Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

[00216] Τὸ μυστήριον τοῦτο μέγα ἐστίν·

[00217] ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν.

[00218] Ὃ οὖν ἐκεῖνος ἑρμηνεύει, ἡμεῖς μὴ ἀμφιβάλλωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν·

[00219] ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00220] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De turture seu de ecclesia sermo**

**Litterarum Omnium Conspectus: 134 Litterae, quae repetitae sunt in 10,810 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 875 | Α | 0913 | 3 |
| β | 0946 | 61 | Β | 0914 | 2 |
| γ | 0947 | 198 | Γ | 0915 | 8 |
| δ | 0948 | 156 | Δ | 0916 | 0 |
| ε | 0949 | 549 | Ε | 0917 | 11 |
| ζ | 0950 | 33 | Ζ | 0918 | 0 |
| η | 0951 | 145 | Η | 0919 | 1 |
| θ | 0952 | 127 | Θ | 0920 | 10 |
| ι | 0953 | 484 | Ι | 0921 | 1 |
| κ | 0954 | 356 | Κ | 0922 | 26 |
| λ | 0955 | 327 | Λ | 0923 | 5 |
| μ | 0956 | 311 | Μ | 0924 | 19 |
| ν | 0957 | 822 | Ν | 0925 | 2 |
| ξ | 0958 | 24 | Ξ | 0926 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| ο | 0959 | 651 | Ο | 0927 | 9 |
| π | 0960 | 281 | Π | 0928 | 19 |
| ρ | 0961 | 398 | Ρ | 0929 | 1 |
| ς | 0962 | 405 | • | 0930 | 0 |
| σ | 0963 | 389 | Σ | 0931 | 5 |
| τ | 0964 | 835 | Τ | 0932 | 25 |
| υ | 0965 | 238 | Υ | 0933 | 1 |
| φ | 0966 | 88 | Φ | 0934 | 7 |
| χ | 0967 | 69 | Χ | 0935 | 19 |
| ψ | 0968 | 21 | Ψ | 0936 | 0 |
| ω | 0969 | 153 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 8 | | | 0 |
| ῥ | 8165 | 9 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 145 | έ | 8051 | 180 | ή | 8053 | 48 | ί | 8055 | 181 | ό | 8057 | 104 | ύ | 8059 | 100 | ώ | 8061 | 22 |
| ὰ | 8048 | 83 | ὲ | 8050 | 19 | ὴ | 80852 | 80 | ὶ | 8054 | 171 | ὸ | 8056 | 126 | ὺ | 8058 | 26 | ὼ | 8060 | 18 |
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 54 | ῖ | 8150 | 75 | | | 0 | ῦ | 8166 | 118 | ῶ | 8182 | 55 |
| ἀ | 7936 | 69 | ἐ | 7952 | 147 | ἠ | 7968 | 4 | ἰ | 7984 | 47 | ὀ | 8000 | 7 | ὐ | 8016 | 125 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 10 | ἑ | 7953 | 30 | ἡ | 7969 | 38 | ἱ | 7985 | 14 | ὁ | 8001 | 44 | ὑ | 8017 | 14 | ὡ | 8033 | 9 |
| ἂ | 7938 | 3 | ἒ | 7954 | 0 | ἢ | 7970 | 8 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 6 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 15 | ἔ | 7956 | 34 | ἤ | 7972 | 0 | ἴ | 7988 | 18 | ὄ | 8004 | 3 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 3 | ἥ | 7973 | 10 | ἵ | 7989 | 2 | ὅ | 8005 | 13 | ὕ | 8021 | 6 | ὥ | 8037 | 6 |
| ἆ | 7942 | 5 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 11 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 8 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 1 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 3 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾅ | 8071 | 0 | | | 0 | ᾕ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8103 | 1 |
| ᾳ | 8115 | 5 | | | 0 | ῃ | 8131 | 18 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 27 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 7 | | | 0 | ῇ | 8135 | 24 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 44 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - De turture seu de ecclesia sermo**

**Verborum Omnium Conspectus: 964Verba, quae repetita sunt in 1,445,028 occasionibus**

---

**α** [00002]
**Ἀβραὰμ** [00206]
**Ἀβραάμ** [00036]
**ἀγαλλίασις** [00069]
**ἀγάπῃ** [00080] [00115]
**ἀγάπης** [00079] [00091] [00093] [00150]
**ἀγαπητοὶ** [00012]
**ἅγιαι** [00051]
**ἁγίας** [00049] [00207]
**ἅγιον** [00176]
**ἁγίῳ** [00115]
**ἁγίων** [00080] [00205]
**ἁγιωσύνῃ** [00018]
**ἀγροῦ** [00035]
**ἀγρῷ** [00024]
**ἀδαμαντίνου** [00107]
**ἀδάμας** [00107]
**ᾄδει** [00169] [00206]
**ᾄδειν** [00207]
**ἀδελφὴ** [00208]
**ἀεὶ** [00219]
**ἀετοῦ** [00006]
**αἱ** [00051] [00080] [00200]
**αἶγα** [00037]
**αἱμάτων** [00062]
**αἱμοῤῥοοῦσα** [00062]
**αἴρων** [00157]
**αἰῶνας** [00219]
**αἰώνων** [00219]
**Ἀκούει** [00132]
**ἀκοῦσαι** [00030] [00081]
**ἀκούσας** [00071]
**Ἀκούσασα** [00158]
**Ἀκούσατε** [00007]
**ἀκούσῃς** [00192]
**Ἄκουσον** [00185] [00188]
**ἀκούσωμεν** [00042]
**Ἀκούω** [00102] [00106]
**ἀκούων** [00171]
**ἀκριβῶς** [00132]
**ἀλή** [00167]
**ἀλλ** [00006] [00011] [00099] [00124]
**Ἀλλ** [00012] [00042]
**ἀλλὰ** [00124]
**ἄλλων** [00018]
**ἁμαρτήσας** [00077]
**ἁμαρτίᾳ** [00064]
**ἁμαρτίαν** [00157]
**Ἀμήν** [00220]
**ἀμίαντος** [00212]
**ἀμνὸν** [00158]
**ἀμνὸς** [00157]
**ἀμφέβαλλε** [00161]
**ἀμφιβάλλει** [00158]
**ἀμφιβάλλωμεν** [00218]
**ἀμφιβολίαν** [00164]
**Ἀμῶς** [00106]
**Ἀνάγνωθι** [00082]
**ἀναλωθῆναι** [00006]
**ἀναμένει** [00011]
**ἀναμένειν** [00006]
**ἀναπνοὴν** [00067]
**ἀνάρχῳ** [00219]
**ἀνατελεῖ** [00061]
**Ἀνατέλλει** [00053] [00054] [00057]
**ἀνατολὴ** [00055]
**ἄνδρα** [00110] [00111]
**ἀνδρὶ** [00006] [00010]
**ἀνδρὸς** [00010] [00109]
**ἀνδρός** [00112]
**ἀνελθόντος** [00010]
**ἀνῆλθε** [00058]
**ἀνθρώποις** [00182]
**ἄνθρωπον** [00016]
**ἄνθρωπός** [00103]
**ἄνθρωπος** [00024] [00215]
**ἄνθρωποςἑστὼς** [00107]
**ἀνθρώπου** [00085] [00177]
**ἀνθρώπων** [00027] [00124] [00180]
**ἀντελάβετο** [00087]
**ἄξιος** [00148]

**ἀπαιτοῦσι** [00198]
**Ἀπεκρίνατο** [00145]
**ἀπενεχθήσονταί** [00200]
**Ἀπενεχθήσονται** [00200]
**Ἀπέρχεται** [00139]
**ἀπλάνητα** [00120]
**Ἀποκρίνεται** [00125] [00127] [00141]
**ἀπόντος** [00109]
**ἅπτεταί** [00078]
**ἄρα** [00159]
**ἆρα** [00117] [00118] [00119] [00120] [00160]
**ἄρνας** [00131] [00133]
**ἄῤῥενα** [00003] [00006]
**ἀῤῥωστίᾳ** [00070]
**Ἄσμασι** [00038]
**ᾀσμάτων** [00038]
**Ἄσωμεν** [00209]
**ἄτιμον** [00124]
**αὐλισθήσεται** [00069]
**αὐλόν** [00035]
**αὐλὸς** [00168]
**αὐξάνειν** [00172]
**αὐξηθῇ** [00026]
**αὐτὴ** [00096] [00132] [00143]
**αὐτή** [00149]
**αὐτῇ** [00136] [00153]
**αὕτη** [00158]
**αὐτὴν** [00078] [00127] [00136] [00151] [00182] [00182]
**αὐτήν** [00052]
**αὐτῆς** [00010] [00164] [00200] [00200]
**αὐτοῖς** [00112]
**Αὐτὸν** [00104] [00108]
**αὐτὸν** [00006] [00006] [00011] [00011] [00104] [00109] [00109] [00113] [00115] [00124] [00126] [00126] [00132] [00139] [00165] [00169] [00177]
**αὐτόν** [00071] [00084] [00086] [00103] [00116] [00123] [00143] [00165]
**αὐτὸς** [00099] [00101] [00182] [00182] [00213]
**αὐτός** [00128] [00190]
**αὐτοῦ** [00026] [00053] [00057] [00061] [00062] [00081] [00083] [00097] [00101] [00102] [00103] [00105] [00107] [00108] [00124] [00124] [00126] [00129] [00130] [00130] [00130] [00131] [00132] [00133] [00133] [00138] [00148] [00149] [00171] [00179] [00187] [00215] [00219]
**αὐτούς** [00018]
**αὐτῷ** [00055] [00082] [00100] [00134] [00191]
**αὐτῶν** [00004] [00012] [00035] [00193]
**ἀφόβως** [00004]
**ἁψαμένη** [00062]

**β** [00075]
**Βαθεῖα** [00103]
**βαπτίζεις** [00144]
**βαπτιζέσθω** [00076]
**βαπτίσματι** [00047]
**βασιλέα** [00070]
**βασιλεῖ** [00200]
**βασιλεία** [00024]
**βασιλεὺς** [00186] [00189]
**βασιλέως** [00031]
**βέλει** [00080] [00084] [00086] [00088] [00090] [00092]
**βέλος** [00082] [00083]
**βέλους** [00081]
**βλέμματι** [00076]
**Βλέπε** [00184]
**βλέψητε** [00051]
**βλυστάνων** [00094]
**βούλομαι** [00099] [00100]
**βουλόμενος** [00018]
**βοῶντος** [00137]
**βραδύναντος** [00149]
**βραχίων** [00129]
**βρόχων** [00022]

**γ** [00114]
**Γαλιλαίας** [00202] [00205]
**γάμον** [00207] [00211]
**γάμος** [00168] [00201] [00212]
**γάμους** [00205]
**γάμῳ** [00173] [00206] [00211]
**γὰρ** [00010] [00014] [00017] [00027] [00028] [00032] [00054] [00059] [00062] [00069] [00073] [00080] [00112] [00179] [00210] [00214]
**γαστρὶ** [00131] [00133]
**γε** [00018]
**γεγραμμένον** [00166]
**γέγραπται** [00214]
**γένη** [00027]
**γῇ** [00039] [00041]
**γῆν** [00109]
**γῆς** [00192]
**Γίνεται** [00201]
**γίνεται** [00026]
**γλῶσσά** [00180]
**γνώμη** [00004]
**γνώσεται** [00103]
**γοεραῖς** [00003]
**γραμματέως** [00180]
**γραφέα** [00174]
**γραφεῖ** [00176]
**γράφεσθαι** [00173]
**Γραφὴ** [00038]
**γραφῆναι** [00193]
**γραφίδι** [00177]
**Γραφῶν** [00012] [00012]
**γράψον** [00177]
**γυναῖκας** [00207]
**γυναῖκες** [00007]
**γυναικὶ** [00215]
**γυνὴ** [00109] [00206]

**δάκρυσι** [00074]
**δακρύων** [00077]
**δάκτυλον** [00155]
**δάμαλιν** [00037]
**Δαυῒδ** [00013] [00030] [00086] [00166] [00181] [00199] [00206]
**Δαυΐδ** [00178]
**δὲ** [00004] [00026] [00030] [00034] [00071] [00085] [00087] [00122] [00168] [00171] [00172] [00195] [00203] [00204] [00213] [00217]

**δέ** [00018]
**δεδόξασται** [00210]
**δεῖ** [00172]
**δεῖξαι** [00018]
**δεξιά** [00087]
**Δεσπότης** [00161]
**δι** [00122]
**Διὰ** [00021] [00096]
**διὰ** [00029] [00046] [00046] [00047] [00047] [00051] [00098] [00099] [00099] [00099] [00109] [00144] [00171]
**διάνοιαν** [00086]
**διανοίας** [00078]
**διαφέρετε** [00020]
**διαφέρουσι** [00018]
**διδάσκει** [00182]
**διδόμενα** [00193]
**δίδωσιν** [00196]
**διηγεῖται** [00132]
**δικαιοσύνη** [00167]
**δικαιοσύνης** [00051] [00054] [00060] [00061] [00062]
**δονήσασα** [00003]
**δόξα** [00031] [00219]
**δόξωμεν** [00012]
**δορκὰς** [00022]
**δοῦλοι** [00197]
**δούλους** [00193] [00194] [00196]
**δύναμιν** [00206]
**δύνει** [00053] [00057]
**δύο** [00215]
**δῶρα** [00173] [00206]
**δώροις** [00191]

**ἐὰν** [00078]
**Ἐὰν** [00078]
**Ἐάν** [00192]
**ἔαρ** [00040]
**ἐάσατε** [00113]
**ἑαυτῇ** [00014] [00028] [00032] [00158]
**ἑαυτὴν** [00095]
**ἑαυτῆς** [00003] [00014] [00028] [00032] [00110] [00111]
**ἑαυτὸν** [00213]
**ἑαυτοῦ** [00018]
**ἑαυτῷ** [00014] [00028] [00032]
**ἑαυτῶν** [00004]
**ἐβόα** [00021]
**ἐγγράφεσθαι** [00211]
**ἐγένετο** [00168]
**ἐγκρυφίας** [00206]
**ἔγνωσαν** [00035]
**ἐγὼ** [00044] [00142] [00146] [00217]
**ἐγώ** [00051] [00079] [00093] [00150]
**Ἐγὼ** [00085] [00099]
**Ἐγώ** [00163]
**ἔδει** [00174] [00207] [00211]
**Ἔδει** [00193]
**ἐδρόσιζε** [00074]
**ἔδυνε** [00056]
**Ἐζεκίαν** [00070]
**Ἐζητεῖτο** [00178]
**ἔθηκέ** [00083]
**ἐθνῶν** [00050] [00099]
**ἔθος** [00182]
**Εἰ** [00067] [00128] [00144]
**Εἴ** [00064] [00076] [00077]
**εἰ** [00067] [00124] [00140]
**εἴ** [00140] [00144] [00187]
**Εἴδομεν** [00123]
**εἴδομεν** [00124]
**εἶδος** [00124] [00124]
**εἷλκεν** [00058]
**εἰμὶ** [00044] [00142] [00146] [00148]
**εἰμι** [00043] [00045] [00048] [00050] [00051] [00063] [00066] [00163]
**εἶναι** [00005] [00012] [00111]
**Εἴπατέ** [00113] [00121]
**Εἰπέ** [00140]
**εἰρήνη** [00167]
**εἰς** [00001] [00010] [00051] [00053] [00056] [00057] [00058] [00069] [00139] [00177] [00207] [00215] [00217] [00217] [00219]
**ΕΙΣ** [00001]
**εἰσόδου** [00035]
**εἶχεν** [00124]
**ἐκ** [00017] [00022] [00022] [00054] [00094] [00164]
**ἕκαστος** [00206]
**ἑκάστου** [00193]
**ἐκδέχῃ** [00124]
**ἐκεῖ** [00110] [00111] [00205]
**ἐκεῖθεν** [00004]
**ἐκείναις** [00061]
**ἐκείνη** [00165]
**ἐκεῖνον** [00124]
**Ἐκεῖνον** [00172]
**ἐκεῖνός** [00126]
**ἐκεῖνος** [00145] [00218]
**ἐκθαλάμιος** [00168]
**Ἐκκλησία** [00009] [00030] [00050] [00092] [00099] [00115] [00125]
**Ἐκκλησίαν** [00001] [00029] [00035] [00181] [00217]
**Ἐκκλησίας** [00035] [00213]
**Ἐκκλησιαστῇ** [00053]
**ἐκλεῖπον** [00124]
**ἐκλεκτὸν** [00083]
**Ἐκολλήθη** [00087]
**ἐκοπίασα** [00085]
**ἔκρυψέ** [00083]
**ἐκτείνας** [00155]
**ἐκτρέφουσα** [00033]
**ἐλαίῳ** [00077]
**ἐλάμβανεν** [00074]
**ἐλαττοῦσθαι** [00172]
**ἔλεγε** [00084] [00086] [00088] [00090]
**ἔλεγεν** [00092] [00149]
**Ἔλεος** [00167]
**ἐλθεῖν** [00026]
**ἐλθέτω** [00099]
**Ἐλθόντος** [00062]
**ἕλκει** [00053] [00057]
**ἑλκύσω** [00059]

**ἐμαυτόν** [00059]
**ἐμβλέψητέ** [00044]
**ἐμβλέψητε** [00051]
**ἐμὲ** [00051] [00172]
**ἐμοῦ** [00087]
**ἐν** [00003] [00007] [00008] [00018] [00024] [00026] [00031] [00038] [00039] [00041] [00047] [00047] [00053] [00061] [00082] [00083] [00107] [00113] [00119] [00120] [00131] [00131] [00133] [00133] [00137] [00158] [00166] [00173] [00191] [00202] [00205] [00206] [00211] [00212] [00218]
**Ἐν** [00061]
**ἐναντίον** [00130]
**ἐνδόξως** [00210]
**Ἕνεκεν** [00215]
**ἐνενηκονταεννέα** [00120]
**ἐνεπόδιζε** [00074]
**ἐνθάδε** [00064] [00077]
**ἑνὸς** [00122]
**ἐνταῦθα** [00027] [00076]
**ἐντελέστερον** [00168]
**ἐντέλλεται** [00036]
**ἐξ** [00050] [00099]
**ἐξέλκει** [00078]
**ἐξήρανε** [00062]
**ἔξωθεν** [00012]
**ἐπαίνους** [00211]
**ἐπαινῶν** [00211]
**ἐπεθύμησα** [00085]
**ἐπειδὴ** [00207] [00211]
**ἐπερωτᾷ** [00112] [00115] [00139]
**Ἐπερωτώμενοι** [00122]
**ἐπὶ** [00004] [00056] [00070] [00107]
**ἐπιθυμήσει** [00186] [00189]
**ἐπιλάθου** [00185] [00188]
**ἐπιμίγνυσθαι** [00006]
**ἐπιμίγνυται** [00010]
**ἐπισπωμένη** [00095]
**ἐπίσχες** [00152]
**Ἐπιτάσσει** [00176]
**ἐπωάζουσι** [00004]
**ἐρᾷ** [00078]
**Ἔργον** [00130]
**ἔρημον** [00139]
**ἐρήμῳ** [00137]
**ἐρίφους** [00206]
**ἑρμηνεύει** [00218]
**ἑρμηνεύεται** [00203]
**ἑρμηνευσάτω** [00213]
**ἐῤῥύσθη** [00017]
**ἔρχεται** [00117] [00118] [00120] [00128] [00128] [00129] [00147] [00202] [00205] [00207]
**ἐρχόμενον** [00110] [00113]
**ἐρχομένους** [00111]
**ἔρχονται** [00197]
**Ἐσθὴρ** [00207]
**ἔσονται** [00215]
**ἔσπειρεν** [00024]
**ἑσπέραν** [00067]
**ἑσπέρας** [00069]
**ἑστηκυῖα** [00064]
**ἐστὶ** [00067] [00182]
**ἐστι** [00025] [00103]
**ἔστι** [00030]
**ἐστὶν** [00009] [00024]
**ἐστίν** [00170] [00216]
**ἐστιν** [00064] [00076] [00077] [00119] [00126] [00128] [00147] [00190]
**ἑστὼς** [00171]
**ἐσχάτην** [00067]
**ἔσωθεν** [00031]
**ἑτέρῳ** [00006] [00010]
**ἔτι** [00099]
**Ἔτι** [00149]
**Ἑτοιμάσατε** [00138]
**εὐθείας** [00138]
**εὔλαλον** [00035]
**εὐποιίας** [00077]
**εὑρέθη** [00178]
**εὗρεν** [00014] [00028] [00032]
**εὑρήσεις** [00082]
**εὑρίσκεται** [00007] [00175]
**ἐχούσας** [00131] [00133]
**ἔχων** [00170]
**ζήσῃ** [00073]
**ζητεῖς** [00156]
**ζητηθῆναι** [00174]
**ζητῶ** [00108] [00126]
**ζωῆς** [00074]
**ζωοποιῷ** [00219]
**ἡ** [00003] [00009] [00023] [00024] [00030] [00031] [00038] [00050] [00062] [00087] [00087] [00092] [00099] [00099] [00103] [00115] [00121] [00125] [00135] [00206] [00208] [00212] [00219]
**ἢ** [00006] [00099] [00099] [00113] [00113] [00113] [00160] [00182]
**Ἡ** [00003] [00017] [00040] [00041] [00180]
**Ἠ** [00016]
**ἠγάπησεν** [00121] [00135]
**ἡκέτω** [00101] [00108]
**ἠκούσθη** [00039] [00041]
**ἥλιον** [00074]
**ἥλιος** [00044] [00051] [00052] [00053] [00053] [00054] [00057] [00057] [00061]
**ἡλίου** [00060] [00062]
**ἡμᾶς** [00058] [00091]
**ἡμεῖς** [00218]
**ἡμέραις** [00061]
**ἡμέραν** [00085]
**ἡμῖν** [00040] [00054]
**ἡμῶν** [00017] [00039] [00041] [00218]
**ἦν** [00173]
**Ἠσαΐᾳ** [00160]
**Ἡσαΐαν** [00082]
**Ἡσαΐας** [00060] [00127] [00132] [00136] [00206]
**Ἡσαΐου** [00071] [00099] [00122] [00158] [00175]
**Ἤτοι** [00001]
**θάλασσαν** [00109]

θεία [00023]
θεια [00167]
θεῖος [00078]
Θέλεις [00081]
θέλξασα [00003]
Θεὸς [00083]
Θεοῦ [00078] [00157] [00203] [00204]
Θεῷ [00076]
Θεωρεῖ [00153] [00161]
θηρευθῆναι [00006]
θηρευόντων [00017]
θήσει [00014] [00028] [00032]
θύγατερ [00185] [00188] [00192]
Θυγατέρας [00049]
θυγατέρες [00043] [00048] [00063] [00191]
θυγατρὸς [00031]
θυρίδων [00109]

Ἰακὼβ [00206]
ἴασις [00061]
ἴδε [00185] [00188]
Ἴδε [00156] [00157]
Ἴδετε [00116]
ἴδῃ [00110] [00111]
ἰδίου [00112]
ἰδίῳ [00024]
Ἰδοὺ [00107] [00130]
Ἱερεμίας [00034] [00084]
Ἱερεμίου [00099] [00102]
Ἱερουσαλὴμ [00049]
Ἱερουσαλήμ [00043] [00048] [00063]
Ἰησοῦ [00197] [00218]
ἱκετεύω [00104] [00126]
ἱμάντα [00148]
ἱματίου [00062]
ἵνα [00012]
Ἵνα [00022] [00168]
ἰξευτοῦ [00006]
Ἰουδὴθ [00207]
Ἰσαὰκ [00206]
ἴση [00187]
ἰσχύος [00128]
ἰσχυρότερός [00147]
Ἰωάννην [00035] [00136] [00139]
Ἰωάννης [00136] [00141] [00151] [00153] [00169]
Ἰωάννου [00158]
Ἰωσὴφ [00206]

καθάπερ [00080]
καινὸν [00177]
καιρὸν [00035]
κἀκείνας [00207]
κάλαμον [00174]
κάλαμος [00178] [00180]
καλεῖ [00003]
καλὴ [00043] [00046] [00047] [00048] [00050] [00063]
καλή [00045] [00066]
καλιὰν [00004]
κάλλει [00180]
κάλλος [00124]
κάλλους [00186] [00189]
καλλωπίζει [00182]
καλλωπίζεται [00207]
καλλωπίσῃς [00078]
καλός [00163]
κἂν [00006] [00110] [00111]
Κανᾶ [00203]
Κανᾷ [00202] [00205]
καρδία [00103]
καρδίας [00094]
κατακολουθῶν [00085]
καταλείψει [00215]
κατασκηνοῦν [00026]
καταχθόνια [00056]
κατέκειτο [00070]
κατεφίλησαν [00167]
κατῆλθεν [00056]
κατηχούμενος [00076]
κατορθώμασιν [00078]
κελαδεῖ [00013] [00042]
κλάδοις [00026]
κλάδους [00033]
κλαυθμὸς [00069]
κλαυθμοῦ [00068]
κλίνην [00074]
κλίνης [00070]
κλῖνον [00185] [00188]
κοιλάδας [00003]
κοιτάζει [00121] [00135]
κοίτῃ [00212]
κόκκῳ [00024]
κολακείαις [00003]
κόσμος [00204]
κόσμου [00157]
κράζει [00162]
κρατεῖ [00139]
κράτος [00219]
κριὸν [00037]
κροσσωτοῖς [00031]
κτίσις [00203] [00204]
κυρίας [00129]
Κύριε [00089]
Κύριον [00153]
Κύριός [00190]
Κύριος [00018] [00036] [00129] [00129] [00202]
Κυρίου [00138]
Κυρίῳ [00209] [00218]
κώμῃ [00113]

Λάβε [00037] [00177]

**λαβὼν** [00024]
**λαλεῖ** [00082]
**λαλῆσαι** [00100]
**λαλοῦντος** [00081]
**λαμβάνει** [00208]
**λαμπαδουχεῖ** [00206]
**λαμπρυνέτω** [00077]
**λαοῦ** [00185] [00188] [00192]
**λαχάνων** [00026]
**Λέγει** [00179]
**λέγει** [00015] [00018] [00049] [00053] [00083] [00096] [00132] [00134] [00136] [00143] [00153] [00155] [00162] [00169] [00176] [00208] [00211] [00213]
**λέγειν** [00182]
**λέγεις** [00079]
**λεγέτω** [00065]
**λέγοντα** [00113]
**λέγοντος** [00030] [00071] [00102] [00106]
**λέγουσα** [00038] [00115] [00158]
**λέγουσι** [00122]
**λέγω** [00217]
**λέγων** [00013] [00021] [00034] [00035] [00060]
**λιτανεύσουσιν** [00192]
**λογίζεται** [00111]
**Λόγος** [00083]
**λόγος** [00078]
**ΛΟΓΟΣ** [00001]
**λοιπὸν** [00193]
**λοιπῶν** [00099]
**λουέτω** [00077]
**λύει** [00164]
**λῦσαι** [00148]

**μαθηταῖς** [00018]
**μάθωμεν** [00168]
**μακάριος** [00013]
**Μαρία** [00208]
**Μαρίας** [00054]
**Μαρτυρεῖ** [00013]
**με** [00044] [00044] [00051] [00083] [00083] [00097] [00101] [00105] [00108] [00126]
**μέγα** [00216]
**μέγαν** [00177]
**μεῖζον** [00026]
**Μέλαινά** [00043] [00045] [00048] [00050] [00063] [00066]
**μέλαινα** [00046] [00047]
**μέλη** [00042]
**μέλλεις** [00073]
**μεμελανωμένη** [00044] [00051] [00064]
**Μεμνήστευμαι** [00098]
**μεμνηστευμένη** [00099]
**μέμνηται** [00034] [00038]
**μὲν** [00194]
**μέν** [00025]
**μέσου** [00094]
**μετανοείτω** [00065] [00068] [00076]
**μετάνοιαν** [00046]
**μετανοίας** [00074]
**μηκέτι** [00154]
**μητέρα** [00215]
**μίαν** [00215]
**μικρότερον** [00025]
**Μίμησαι** [00070]
**μιμήσασθε** [00008]
**μισθὸς** [00130]
**μνήμῃ** [00006] [00011]
**μνημονεύσαντες** [00012]
**μνημονεύσωμεν** [00012]
**μοι** [00037] [00079] [00113] [00121] [00140] [00177]
**μόνον** [00065] [00152]
**μορφὴν** [00008]
**μόσχον** [00206]
**μού** [00147]
**μου** [00051] [00087] [00121] [00135] [00147] [00180] [00192]
**μυστήριον** [00216]
**μυστικῶς** [00202]
**Μωϋσέως** [00099] [00208]
**Μωϋσῆς** [00206]

**νάματα** [00094]
**νέμει** [00120]
**νεμόμενον** [00003]
**νεοττοὺς** [00004]
**νεοφώτιστα** [00033]
**νομίσῃς** [00187]
**νόμου** [00098]
**νόσσια** [00014] [00028] [00032]
**νοσσιὰν** [00014] [00028] [00032]
**νουθετεῖ** [00182]
**νύμφῃ** [00173] [00183]
**νύμφη** [00125] [00168]
**νύμφην** [00170]
**νύμφης** [00195] [00198]
**νυμφίον** [00095]
**νυμφίος** [00170]
**νυμφίου** [00171] [00171]
**νυμφίῳ** [00098] [00165] [00168] [00206]
**νυμφοστολεῖ** [00181]
**νυμφοστόλος** [00182]
**νῦν** [00219]

**ξύλα** [00206]

**ὁ** [00013] [00013] [00021] [00036] [00044] [00051] [00053] [00053] [00054] [00057] [00057] [00061] [00078] [00083] [00088] [00090] [00129] [00130] [00140] [00142] [00144] [00146] [00157] [00157] [00161] [00163] [00163] [00169] [00171] [00178] [00181] [00186] [00189] [00190] [00196] [00201] [00202] [00204] [00205] [00212]
**ὃ** [00025]
**Ὁ** [00018] [00170] [00175] [00199]
**Ὃ** [00218]
**ὁδοιπόρους** [00111]
**ὁδὸν** [00138]
**Οἵ** [00079]

**οἱ** [00122] [00192] [00215]
**οἷα** [00007]
**οἶδας** [00089]
**οἰκείαν** [00206]
**οἰκίαν** [00014] [00028] [00032]
**οἴκου** [00072]
**Οἴμοι** [00093] [00150]
**ὀλίγον** [00152]
**ὁμόζυγον** [00003]
**Ὁμοία** [00024]
**ὁμοφώνῳ** [00004]
**ὃν** [00024] [00121] [00135] [00156]
**ὄνομα** [00055]
**ὀξυγράφου** [00180]
**ὀπίσω** [00085] [00087] [00200]
**Ὀπίσω** [00147]
**ὀρνέοις** [00007] [00027]
**ὄρνεον** [00022]
**ὃς** [00070]
**Ὅσοι** [00008]
**ὅταν** [00026]
**Ὅταν** [00059]
**ὅτε** [00003] [00056]
**Ὅτε** [00058]
**ὅτι** [00044] [00044] [00051] [00051] [00089] [00132] [00161] [00168] [00187] [00190]
**Ὅτι** [00030] [00213]
**Οὐ** [00053]
**οὐ** [00073]
**οὗ** [00014] [00028] [00032] [00053] [00148]
**Οὐκ** [00142] [00146]
**οὐκ** [00010] [00085] [00085] [00099] [00118] [00120] [00124] [00144] [00148]
**οὖν** [00218]
**οὐράνιον** [00040] [00095]
**οὐρανίῳ** [00098]
**οὐρανόθεν** [00040]
**οὐρανοῦ** [00026]
**οὐρανοὺς** [00010] [00058]
**οὐρανῷ** [00119] [00120]
**οὐρανῶν** [00024]
**οὓς** [00185] [00188]
**οὔτε** [00124] [00124]
**οὕτω** [00078]
**ὄψει** [00008]

**παγίδος** [00017] [00022]
**παιδίσκας** [00193] [00195] [00198]
**Πάλιν** [00151]
**πάλιν** [00023] [00056] [00143] [00145]
**παναγίῳ** [00219]
**πάνσεμνον** [00029] [00035]
**πάνσεμνος** [00009] [00092] [00115] [00125]
**πάντα** [00026]
**πάντας** [00059] [00103] [00115]
**πάντων** [00025] [00026]
**πάντως** [00016] [00053]
**παρ** [00003] [00193]
**παρὰ** [00103] [00124] [00158] [00158] [00175] [00178] [00180] [00194] [00195] [00198]
**παράβασιν** [00046]
**Παραγγέλλει** [00183]
**παραγίνεσθαι** [00040]
**παραγίνεται** [00205]
**παραινεῖ** [00003]
**παρακαλέσει** [00131] [00133]
**παρακύπτουσα** [00109]
**παράνυμφος** [00182]
**παραχρῆμα** [00074]
**παρέβλεψέ** [00044] [00051]
**παρέβλεψεν** [00052]
**παρείκασε** [00027] [00029]
**παρεῖναι** [00207]
**παρθένοι** [00200]
**πᾶς** [00204] [00205]
**Πᾶσα** [00031]
**πᾶσι** [00212]
**πατέρα** [00215]
**πατέρων** [00049]
**Πατρὶ** [00219]
**Παῦλον** [00035]
**Παῦλος** [00090] [00197] [00211]
**Παῦσαι** [00154]
**παῦσαι** [00152]
**Πέμπει** [00136]
**πένθος** [00047]
**πεντεκαιδεκαετῆ** [00074]
**πεπλανημένον** [00120]
**πεποικιλμένη** [00031]
**πεποίκιλται** [00030]
**Περὶ** [00036] [00060]
**περὶ** [00053] [00072] [00102] [00112] [00132] [00179] [00213]
**περιβεβλημένη** [00031]
**περιβλέπεται** [00109]
**περιπτύσσεται** [00165]
**περισκοπεῖ** [00109]
**περιστερὰν** [00037]
**πετάζουσι** [00004]
**πετάσασα** [00003]
**πετεινὰ** [00026]
**Πέτρος** [00088]
**πηγὰς** [00062]
**πήξασαι** [00004]
**πιστεύσω** [00159] [00160]
**πιστὸς** [00077]
**πλάνην** [00051]
**πληροῦται** [00166]
**πλησίον** [00200]
**πλοῖον** [00110]
**πλούσιοι** [00192]
**Πνεῦμα** [00176]
**Πνεύματι** [00219]
**πνευματικὸς** [00168]
**πνευματικοὺς** [00205]
**ποθεῖ** [00011]
**ποθεῖν** [00006]
**πόθον** [00078]

ποθῶ [00104] [00126]
ποίᾳ [00113]
ποῖα [00042]
ποιεῖτε [00138]
ποιήσασθαι [00003]
ποικίλα [00029]
ποιμαίνει [00121] [00135]
ποιμανεῖ [00133]
ποιμένα [00132] [00158]
ποιμὴν [00133] [00163]
ποίμνιον [00133]
ποῖον [00015]
Ποῖος [00052]
ποιοῦντα [00113]
πόλει [00113]
πολλάκις [00112]
πολλῆς [00128]
πολλῶν [00020]
πολυαρίθμητα [00027]
Πόῤῥωθεν [00155]
πόῤῥωθεν [00111]
πόσον [00018]
πότε [00113]
Ποῦ [00135]
ποῦ [00113] [00121] [00121] [00135]
πρέμνων [00004]
πρόβατα [00120]
πρόβατον [00120]
πρὸς [00018] [00059] [00067] [00067] [00071] [00074] [00078] [00084] [00086] [00095] [00100] [00120] [00127] [00136] [00139] [00143] [00151]
προσερχέσθω [00076]
Προσέρχεται [00165]
προσερχόμενον [00153]
προσκολληθήσεται [00215]
προσκυνήσουσιν [00191]
προσφέρουσι [00206]
πρόσωπόν [00192]
προτέραν [00046] [00051]
προφῆται [00122]
προφήτας [00115]
προφητῶν [00098] [00099]
πρωῒ [00069]
παίσματι [00047]
πτερυγίου [00062]
πτέρυξιν [00061]
πτῆσιν [00003]
πῶς [00082]

ῥήματος [00164]

σάρκα [00054] [00215]
Σάῤῥα [00206]
σε [00089]
σεαυτὸν [00078]
σημαίνει [00040]
σήμερον [00041]
Σιλουανὸς [00197]
σινάπιος [00024]
σιτοδοτεῖ [00206]
σοι [00200]
Σολομὼν [00021]
σου [00072] [00078] [00078] [00085] [00087] [00087] [00185] [00185] [00186] [00188] [00188] [00189] [00190] [00192]
σοφίας [00029]
σπερμάτων [00025]
σταυροῦ [00033] [00056]
σταυρωθέντος [00010]
στεναγμὸς [00094] [00095]
στέναζε [00152] [00154]
στερεμνίους [00033]
στερεμνίων [00004]
στολίζεται [00207]
στόμα [00100] [00100]
στόματος [00097] [00101] [00105] [00108] [00126]
στραφεὶς [00074]
στρουθία [00035]
στρουθίον [00014] [00015] [00017] [00028] [00032]
στρουθίων [00020]
σὺ [00073] [00079] [00089] [00140]
συγκοιταζομένη [00003]
συμβῇ [00006]
σὺν [00219]
συναντήσασα [00112]
συνάξει [00131] [00133]
συναποθνήσκει [00011]
συναποθνήσκειν [00006]
συνδεθεὶς [00090]
συνεχομένη [00115]
συνήντησαν [00167]
συνήφθη [00168]
σώζῃ [00022]
σῶμα [00077]
σωφροσύνη [00007]
σωφροσύνην [00008]

τὰ [00014] [00026] [00027] [00028] [00029] [00032] [00033] [00056] [00120] [00120] [00132] [00193] [00206] [00206]
ταῖς [00061] [00061]
Τάξαι [00072]
τὰς [00003] [00049] [00062] [00131] [00133] [00138] [00198]
Ταύτην [00181]
ταύτην [00006]
Ταύτης [00034] [00038]
ταύτης [00006] [00008] [00036] [00040] [00042]
ταχεῖαν [00003] [00046]
τείχους [00107]
τέκνα [00033]
τέκνον [00184]
τελεῖ [00205]
τελευτᾷν [00073]
τετρωμένη [00079] [00093] [00150]
τέττιγα [00035]
τέττιγες [00035]

**τῇ** [00006] [00011] [00039] [00041] [00080] [00083] [00107] [00131] [00133] [00137] [00173] [00183] [00215]
**ΤΗΝ** [00001]
**τὴν** [00001] [00003] [00004] [00005] [00008] [00008] [00029] [00035] [00042] [00046] [00046] [00051] [00074] [00077] [00086] [00109] [00109] [00138] [00139] [00157] [00164] [00170] [00171] [00171] [00181] [00206] [00215] [00217]
**τῆς** [00008] [00017] [00029] [00031] [00034] [00035] [00036] [00038] [00039] [00040] [00041] [00042] [00049] [00051] [00054] [00060] [00061] [00062] [00077] [00078] [00091] [00094] [00192] [00195] [00198] [00202] [00205] [00213]
**Τί** [00214]
**τί** [00113] [00113] [00144]
**Τίμιος** [00212]
**Τιμόθεος** [00197]
**τινες** [00005]
**Τίνι** [00159]
**Τίς** [00091]
**τίς** [00064] [00076] [00077] [00103]
**τιτρώσκονται** [00080]
**Τὸ** [00069] [00192] [00216]
**τὸ** [00040] [00047] [00047] [00054] [00069] [00077] [00082] [00120] [00124] [00124] [00124] [00130] [00133] [00166] [00176] [00176] [00185] [00188] [00208] [00219]
**Τοιαύτη** [00009]
**τοίνυν** [00008]
**τοιοῦτον** [00207]
**τοιούτῳ** [00211]
**τοῖς** [00018] [00026] [00038] [00078] [00182]
**τοῖχον** [00074]
**τόμον** [00177]
**Τὸν** [00115]
**τὸν** [00003] [00003] [00006] [00016] [00035] [00035] [00035] [00040] [00053] [00057] [00070] [00074] [00074] [00082] [00095] [00110] [00111] [00148] [00153] [00155] [00206] [00207] [00211] [00215]
**τόπον** [00053] [00057]
**τότε** [00058] [00059]
**Τοῦ** [00010]
**τοῦ** [00026] [00030] [00031] [00033] [00056] [00060] [00062] [00062] [00062] [00072] [00081] [00091] [00106] [00109] [00112] [00148] [00157] [00157] [00164] [00171] [00171] [00185] [00186] [00188] [00189] [00192] [00194] [00204] [00208]
**τοὺς** [00004] [00033] [00115] [00124] [00180] [00196] [00205] [00205] [00206] [00206] [00219]
**τουτέστιν** [00033]
**τοῦτο** [00021] [00096] [00216]
**τοῦτον** [00003]
**τούτου** [00006] [00011] [00060] [00206] [00215]
**Τούτῳ** [00084] [00086] [00088] [00090] [00092]
**τούτῳ** [00160]
**τρίβους** [00138]
**τριετίζοντα** [00037]
**τριετίζουσαν** [00037] [00037]
**τρόπον** [00115]
**ΤΡΥΓΟΝΑ** [00001]
**τρυγόνα** [00005] [00035] [00037]
**Τρυγόνι** [00029]
**τρυγόνος** [00008] [00012] [00034] [00036] [00038] [00039] [00040] [00041] [00042]
**Τρυγὼν** [00035]
**τρυγὼν** [00003] [00014] [00028] [00032]
**τρωθεὶς** [00084] [00086] [00088] [00090]
**τρωθεῖσα** [00092]
**τυγχάνει** [00067]
**τύμπανον** [00208]
**Τύρου** [00191]
**τῷ** [00024] [00036] [00047] [00047] [00053] [00076] [00076] [00076] [00077] [00077] [00084] [00086] [00088] [00088] [00090] [00092] [00098] [00165] [00166] [00168] [00176] [00178] [00200] [00206] [00209] [00218] [00219] [00219]
**τῶν** [00004] [00012] [00012] [00017] [00024] [00025] [00026] [00027] [00038] [00049] [00062] [00077] [00080] [00098] [00099] [00124] [00180] [00205] [00219]

**ὕδασι** [00003]
**ὕδατι** [00076] [00077]
**υἱοὺς** [00124] [00180]
**ὕλαις** [00003]
**ὑμεῖς** [00020] [00051]
**ὑπαγορεύει** [00199]
**ὑπὸ** [00006] [00006] [00033]
**ὑποδεικνύει** [00155]
**ὑποδήματος** [00148]
**ὑποπεσὼν** [00070]
**ὑψωθῶ** [00059]

**φαντάζεται** [00110]
**φαρέτρα** [00083]
**Φασί** [00005]
**φέγγος** [00047]
**φέρε** [00012]
**φέρετε** [00008]
**φησὶ** [00214]
**φθέγγεται** [00060]
**φθέγγονται** [00122]
**φίλαγνον** [00005]
**φίλανδρον** [00005]
**φίλανδρος** [00109]
**φιλάνθρωπον** [00035]
**φιλεῖ** [00165]
**φιλέρημος** [00003]
**φιλήματι** [00115]
**φιλημάτων** [00097] [00101] [00105] [00108] [00126]
**Φιλησάτω** [00097] [00101] [00105] [00126]
**φιλησάτω** [00108]
**φίλος** [00171]
**φιλόχριστα** [00094]
**φιλῶ** [00089]
**φοβεῖσθε** [00019]
**φοβείσθω** [00064] [00067]
**Φωνὴ** [00039] [00137]
**φωνὴ** [00040] [00041]
**φωνή** [00023]
**φωνὴν** [00042] [00171] [00171]
**φωτιζέσθω** [00076]

**χαίρει** [00171]
**χαρὰν** [00171]
**χαρίσματα** [00029]
**χάρτην** [00174]
**χάρτης** [00175]
**χειρὶ** [00107] [00131] [00133]
**χελιδόνα** [00035]
**χελιδὼν** [00035]
**χορεύει** [00206]
**χορός** [00205]
**Χρεία** [00173]

**Χριστὸν** [00040] [00095] [00217]
**Χριστὸς** [00054] [00144]
**Χριστός** [00140] [00142] [00146] [00196]
**Χριστοῦ** [00010] [00062] [00091] [00194] [00197] [00213]
**Χριστῷ** [00088] [00090] [00218]
**χρόνον** [00074]
**χρυσοῖς** [00031]
**χωρίσει** [00091]

**ψυχαὶ** [00051]
**ψυχαί** [00080]
**ψυχάς** [00049]
**ψυχὴ** [00017] [00064]
**ψυχή** [00087] [00121] [00135]
**ψυχὴν** [00077]

**ὣ** [00095]
**Ὣ** [00094]
**ᾧ** [00219]
**Ὧδε** [00205]
**ὥρα** [00067]
**ὡραῗσῃς** [00078]
**ὡραῖος** [00180]
**ὡς** [00017] [00083] [00173] [00182] [00182] [00206] [00211]
**Ὡς** [00133]
**ὥσπερ** [00022] [00022] [00109]
**ὥστε** [00006] [00026]